Βοιωτοῖς, ὅτ' αὐτῶν Ἀγησίλαος ἡγεῖτο, τὸν αὐτὸν
τρόπον καὶ τότε τὴν νίκην ἐποιήσαντο, τρίτον δ'
ἡνίκα Λέχαιον ἔλαβον, Ἀργείους μὲν ἅπαντας καὶ
Κορινθίους, ἡμῶν δὲ καὶ Βοιωτῶν τοὺς παρόντας.
τοιαῦτα δ' ἔργα ἐπιδειξάμενοι [τοῖς Ἕλλησι], τὴν εἰρήνην 19
εἰσὶν ἕτοιμοι ποιεῖσθαι τὴν ἑαυτῶν ἔχοντες, οἱ ἐνίκων
μαχόμενοι, καὶ τὰς πόλεις αὐτονόμους εἶναι καὶ
τὴν θάλατταν κοινὴν ἐῶντες τοῖς ἡττημένοις. καίτοι
ποίας τινὸς ἂν ἐκεῖνοι παρ' ἡμῶν εἰρήνης ἔτυχον,
εἰ μίαν μόνον μάχην ἡττήθησαν; Βοιωτοὶ δ' αὖ 20
πῶς τὴν εἰρήνην ποιοῦνται; οἵτινες τὸν μὲν πόλεμον ἐποιήσαντο ἕνεκα Ὀρχομενοῦ, ὡς οὐκ ἐπιτρέψοντες αὐτόνομον εἶναι, νῦν δὲ | τεθνεώτων μὲν 26
αὐτοῖς ἀνδρῶν τοσούτων τὸ πλῆθος, τῆς δὲ γῆς ἐκ μέρους τινὸς τετμημένης, χρήματα δ' εἰσενηνοχότες πολλὰ καὶ ἰδίᾳ καὶ δημοσίᾳ, ὧν στέρονται, πολεμήσαντες δ' ἔτη τέτταρα, ὅμως Ὀρχομενὸν ἀφέντες αὐτόνομον τὴν εἰρήνην ποιοῦνται καὶ ταῦτα μάτην πεπόνθασιν· ἐξῆν γὰρ αὐτοῖς καὶ τὴν ἀρχὴν ἐῶσιν Ὀρχομενίους αὐτονόμους εἰρήνην ἄγειν. οὗτοι
δ' αὖ τούτῳ ⟨τῷ⟩ τρόπῳ τὸν πόλεμον καταλύονται. ἡμῖν 21
δὲ ὦ ⟨ἄνδρες⟩ Ἀθηναῖοι πῶς ἔξεστι τὴν εἰρήνην ποιήσασθαι; ποίων τινῶν Λακεδαιμονίων τυγχάνοντας; καὶ γὰρ εἴ τις ὑμῶν ἀχθεσθήσεται παραιτοῦμαι· ⟨τὰ⟩ γὰρ ὄντα λέξω. πρῶτον μὲν γὰρ ἡνίκα ἀπω-

τοῖς S. Turr.: δὲ βοιωτοῖς. — καὶ τότε Sl. Turr.: καὶ ὅτε. — καὶ ... ἐποιήσαντο del. Dobr. 19. τοῖς Ἕλλησι add. Q L. — εἰσὶν om. Q. — εἰ μὴ μ ... (om. μόνον?) A pr.
20. μὲν post τὸν om. Q. — τετμημένης] alt. η a corr. (fort. -νοις vel -νους) A. — ἀφιέντες Bl. cf. 23. (13). — ταῦτα om. Q. — τῷ post τούτῳ om. A Q, add. apogr.
21. τὰ add. Ald. (ἀχθ. (παραιτ. γὰρ) τὰ ὄντα λ. Kal.). — malit ⟨τὰς⟩ ἐν Ἑλλ. coll. Isocr. 7, 64 Bl. at cf. [Lys.] 2, 58. Is. 18, 59.